


summārium operis
Friderīcī Hayek
Ēditiō  Græcolatīna




ἐπιτομὴ τοῦ ἔργου
Φρεδερίχου Αἶεκ
Ἔκδοσις Ἑλληνορωμαϊκή

I

**Propter bellum cōnsilia pūblica fiunt.**

Ad patria arma īnstruenda et paranda, multa lībertātis jūra libenter cēdis. Scīs enim hujusmodī disciplīnam ob hostēs necessāriam esse.




* Collēgium ad Bellum Parandum, cujus sodālēs per secundum bellum mundānum fuērunt magistrātūs Cīvitātum Fœderātārum Americæ.

Α'

**Διὰ τὸν πόλεμον συνέδρια κοινὰ γίγνεται.**

Τοῦ τὰ τῆς πατρίδος ὅπλα κατασκευάζεσθαι, ἡδέως παραχωρεῖς πολλὰ τῆς ἐλευθερίας δίκαια. Οἶσθα γὰρ τοιαύτην τὴν δίαιταν διὰ τοὺς πολεμίους ἀναγκαίαν οὖσαν.




* Ἑταιρεία τοῦ τὸν Πόλεμον Παρασκευάζεσθαι, ἧσπερ ἑταῖροι διὰ τοῦ δευτέρου παγκοσμίου πολέμου ὑπῆρξαν δυνάσται τῶν Ἡνωμένων Ἀμερικῆς Πολιτειῶν.

II

**Multī volunt ista cōnsilia manēre.**

Ante bellum fīnītum, argūmenta audiuntur prō collēgiō ad pācem parandam.
Cōnsiliāriī autem in tempore bellī, cupidī perpetuæ potestātis, rem suādent.



Β'

**Πολλοὶ βούλονται ταῦτα τὰ συνέδρια μένειν.**

Πρὶν ἂν ὁ πόλεμος καταλυθῇ, πισταὶ ἀκούονται ὑπὲρ ἑταιρείας τοῦ τὴν εἰρήνην παρασκευάζεσθαι. Οἱ δ' ἐπὶ τοῦ πολέμου σύμβουλοι, ἐπιθῡμοῦντες τῆς συνεχοῦς ἐξουσίας, ἐκεῖνο πείθουσιν.



III

**Cōnsiliāriī Ūtopiās* pollicentur.**

Alterum bonā spē cōnsilium rūrī agricolīs placet. Alterum autem in urbibus opificibus grātum est, et cētera. Multī vērō novī cōnsiliāriī dēsignātī sunt.




* Ē Græcā nōn locus, īnscrīptiō librī annō MDXVI ā dīvō Thomā Mōrō scrīptī, significāns modo nōn perfectam societātem vel rem pūblicam quamdam.

Γ'

**Οἱ σύμβουλοι ὑπισχνοῦνται Οὐτοπίας.***

Τὸ μὲν ἕτερον εὔελπι βούλευμα ἐν ἀγρῷ ἀρέσκει τοῖς γεωργοῖς. Τὸ δ' ἕτερον ἐν ταῖς πόλεσι κεχάρισται τοῖς δημιουργοῖς, καὶ τὰ λοιπά. Πολλοὶ δὴ νέοι σύμβουλοι ᾕρηνται.




* Ἀπὸ τοῦ οὐ τόπος, ἐπιγραφὴ οὖσα τοῦ βιβλίου τῷ ἔτει ͵ΑΦΙϚʹ ὑπὸ τοῦ ἁγίου Θωμᾶ Μώρου γραφέντος, σημαίνουσα ὅσον οὐ τελείαν κοινωνίαν ἢ πολιτείαν τινά.

IV

## Sed nōn possunt ūnī Ūtopiæ assentīrī.

Pāce cōnfectā, lēgislātōrēs quidem congregantur, nōn autem amplius quasi bellō ūnanimiter vīctūrī. Parumque abest quīn cōnsiliāriī alapīs invicem cædant. Ūnusquisque enim cōnsiliolum suum habēns nōn trānsiget.



Δ'

**Ἀλλὰ οὐχ οἷοί τ' εἰσὶ συνομολογεῖν μίαν Οὐτοπίαν.**

Εἰρήνης δὲ γενομένης, οἱ μὲν νομοθέται συνάγονται, οὐκέτι δ' ὡς πολέμῳ ὁμοθῡμαδὸν κρατήσοντες. Καὶ ὀλίγου δέουσιν οἱ σύμβουλοι ῥαπίσμασιν ἀλλήλους λαβεῖν. Ἕκαστος γὰρ τὸ αὑτοῦ βουλευμάτιον ἔχων οὐ μὴ διομολογήσεται.



V

**Neque cīvēs possunt assentīrī.**

Cum cōnsiliāriī longō post tempore cōnsilium temporārium quoddam composuerint, nunc vērō cīvēs discrepant. Quæ enim agricolīs placent, ea opificibus displicent.



Ε'

**Οὐδ' οἱ πολῖται οἷοί τ' εἰσὶ συνομολογεῖν.**

Ἐπειδὴ οἱ σύμβουλοι πολὺν χρόνον διαλιπόντες συνέθηκαν βούλευμα πρόσκαιρόν τι, νῦν μὴν οἱ πολῖται διαφωνοῦσιν. Ὅσα γὰρ ἀρέσκει τοῖς γεωργοῖς, τοσαῦτα ἀπαρέσκει τοῖς δημιουργοῖς.



VI

**Cōnsiliāriī gravantur cōnsēnsum per vim efficere.**

Plērīque ē cōnsiliāriīs pūblicīs, cum somniantēs benevolī sint, nōlunt vim alicui īnferre. Spērant autem dīvīnitus quōdammodo plēbem cōnsiliō compositō eōrum assēnsūram esse.



ϛ'

**Οἱ σύμβουλοι δυσχεραίνουσιν ὁμολογίαν βιάζεσθαι.**

Οἱ δὲ πλεῖστοι τῶν κοινῶν συμβούλων ὀνειροπόλοι εὔνοοι ὄντες οὐ μὲν βούλονται οὐδένα βιάζεσθαι. Ἐλπίζουσι δὲ θείως πως τὸν δῆμον συνομολογήσειν τὸ σύνθετον βούλευμα αὐτῶν.



VII

**Cōnantur igitur cōnsilium omnibus probarī.**

Cōnsiliāriī, vānē studentēs īnstituendō hominēs ad ūnam sententiam, sibi parant immēnsam prædicātiōnem, *quæ adventūrō dictātōrī ūtilis erit.*




* Artēs mēchanicæ commūnicandō cum vulgō litterās, imāginēs, sonōs etc, cum ipsæ quōdammodo in mediō sint.

Ζ'

**Πειρῶνται οὖν ὅπως πάντες ἀποδέχωνται τὸ βούλευμα.**

Οἱ γὰρ σύμβουλοι, ματαίως σπουδάζοντες παιδεῦσαι τοὺς ἀνθρώπους εἰς μίαν γνώμην, παρασκευάζονται κήρυξιν ὑπερμεγέθη, *ᾗ γε τῷ ἐπιόντι τυράννῳ χρησίμη ἔσται.*




* Τέχναι μηχανικαὶ τοῦ μεταδιδόναι τοῖς πολλοῖς γραμμάτων, εἰκόνων, ἤχων κ.τ.λ., αὐταὶ οὖσαί πως ἐν μέσῳ.

VIII

**Facilēs dēceptū vērō assentiuntur.**

Intereā, perturbātiōne populī crēscente, sequuntur sēditiōnēs. Nam indoctī, cum sibi persuāsum sit ā validissimīs dīcendī, cōnstituunt sē in factiōnem.



Η'

**Οἱ εὐεξαπάτητοι συνομολογοῦσι δή.**

Ἐν τῷ μεταξύ, τῆς τοῦ δήμου ταραχῆς αὐξανομένης, ἕπονται στάσεις. Οἱ γὰρ ἀπαίδευτοι, ἐκπεπεισμένοι ὑπὸ τῶν δεινοτάτων λέγειν, συνίστανται εἰς μερίδα.



IX

**Fidēs in cōnsiliāriīs dēficit.**

Nam quantō magis cōnsiliāriī māchinantur, tantō magis rēs commoventur. Itaque omnēs labōrant. Nunc autem hominēs nōn putant, et rēctē, cōnsiliāriōs mūnera perficere posse.



Θ'

**Ἡ ἐν τοῖς συμβούλοις πίστις ἐκλείπει.**

Ὅσῳ γὰρ μᾶλλον οἱ σύμβουλοι μηχανῶνται, τοσούτῳ μᾶλλον τὰ πράγματα ταράττεται. Ὥστε πάντες κάμνουσιν. Νῦν δ' οἱ ἄνθρωποι οὐκ οἴονται, καὶ ὀρθῶς, τοὺς συμβούλους δύνασθαι τὰ ἔργα διαπρᾶξαι.



X

**Imperium dictātōrī dēfertur.**

Cōnsiliāriī ergō, ad angustiās dētrūsī, potestātem dant novæ factiōnis ducī, cōnsiliō compositō, obœdientem reddendī plēbem. Posteā vērō, sīc enim arbitrantur, remittent eum.



Ι'

**Ἡ ἀρχὴ παραδίδοται τῷ τυράννῳ.**

Οἱ οὖν σύμβουλοι ἀποροῦντες ἐξουσίαν διδόασι τῷ τῆς νέας μερίδος ἡγεμόνι, συνθέντι βούλευμα, πειθόμενον παρέχειν τὸν δῆμον. Ἔπειτα δή, οὕτως γὰρ ἡγοῦνται, ἀναπέμψουσιν αὐτόν.



XI

**Factiō imperium in patriam obtinet.**

Nunc vērō tanta perturbātiō est ut plēbs novō ducī obœdiēns omnī modō reddenda sit. Forte autem ipse factiōnem sequeris ut plēbs ūnīus voluntātis fīat.



ΙΑ'

## Ἡ μερὶς κρατεῖ τῆς πατρίδος.

Νῦν δὴ τοσαύτη ταραχή ἐστιν ὥστε παντὶ τρόπῳ δεῖν τὸν δῆμον παρέχεσθαι πειθόμενον τῷ νέῳ ἡγεμόνι. Τάχα δ' αὐτὸς αἱροῦ τὴν μερίδα ἵνα ὁ δῆμος μιᾶς γνώμης γίγνηται.



XII

**Prōpositum adversārium quoddam factiōnem conciliat.**

Prius enim omnēs dictātōrēs īnstīgant plērōsque commūniter adversārī pauciōribus ut piāculō cuidam. In Germāniā vērō prōpositum *Jūdæīs* adversārium fuit.



## ΙΒ'

**Προαίρεσις ἐναντία τις εἰς ὁμόνοιαν ἄγει τὴν μερίδα.**

Πρότερον γὰρ πάντες οἱ τύραννοι παροξύνουσι τοὺς πολλοὺς κοινοπρᾱγεῖν ἐναντίον τῶν ὀλίγων ὡς καθάρματός τινος. Ἐν δὴ τῇ Γερμανίᾳ ἡ προαίρεσις ἔτυχεν ἐναντία τῶν *Ἰουδαίων* οὖσα.



XIII

**Nēmō sē oppōnit ducis cōnsiliō.**

Etenim pereās, cum agentēs in rēbus trucēs sint. Vīs autem obœdientem reddendī plēbem semper fit virtūs maxima in cīvitāte quæ secundum cōnsilium administrātur. Itaque tota libertas amissa est.



ΙΓ'

**Οὐδεὶς ἀντιτάσσεται τῇ τοῦ ἡγεμόνος βουλῇ.**

Καὶ γὰρ ἂν ἀπολλύοιο, τῶν τῆς κρυπτείας φονικῶν ὄντων. Ἡ δὲ δεινότης τοῦ πειθόμενον παρέχειν τὸν δῆμον ἀεὶ γίγνεται ἀρετὴ μεγίστη ἐν πολῑτείᾳ τῇ κατὰ βουλὴν διοικουμένῃ. Ὥστε ὅλη ἡ ἐλευθερία ἀποβέβληται.



XIV

**Opera tua secundum cōnsilium administrātur.**

Ex enim optiōne plūrium operārum ā cōnsiliāriīs dēfūnctīs prōmissā, mīmus horribilis ēvādit. Cōnsiliāriī igitur numquam reddidērunt, neque umquam poterunt.



ΙΔ'

**Ἡ ἐργασία σου κατὰ βουλὴν διοικεῖται.**

Ἀπὸ γὰρ τῆς αἱρέσεως πλειόνων ἐργασιῶν ἥνπερ σύμβουλοι οἱ ἀπηλλαγμένοι ὑπέσχοντο, μῖμος φοβερός τις ἀποβαίνει. Οἱ τοίνυν σύμβουλοι οὔποτε ἀπέδωκαν, οὐδέποτε οἷοι τ' ἔσονται.



XV

**Mercēs tua secundum cōnsilium administrātur.**

Et necesse pactiōnēs mercēdum ex obstinātōrum opīniōne fierī. Nam ab Arce Capitōlīnā secundum cōnsilium rem pūblicam administrāre est tardum et inīquum et vānum.



ΙΕ'

**Ὁ μισθός σου κατὰ βουλὴν διοικεῖται.**

Καὶ ἀνάγκη τὰς τῶν μισθῶν συνθήκας ἐκ τοῦ τῶν αὐθαδῶν δόγματος γίγνεσθαι. Τὸ γὰρ ἀπὸ τῆς ἀκροπόλεως κατὰ βουλὴν διοικεῖν τὴν πολῑτείαν ἐστὶ βραδὺ καὶ ἀνεπιεικὲς καὶ ἄπρακτον.



XVI

**Mēns tua secundum cōnsilium administrātur.**

Nam dictātōre ā cōnsiliāriīs per imprūdentiam creātō, nōn amplius licet discrepāre. Prōscrīptiōnēs et radiophōnia* et ācta diurna nūntiānt eadem falsa.

.




*radiophōnia

ΙϚ'

**Ὁ νοῦς σου κατὰ βουλὴν διοικεῖται.**

Τοῦ γὰρ τυράννου ὑπὸ τῶν συμβούλων ἀνοήτως ποιηθέντος, οὐκέτι ἔξεστι διαφωνεῖν. Αἱ δὲ προγραφαὶ καὶ ἡ ἀκτῖνοφωνία* καὶ αἱ ἐφημερίδες ἀγγέλλουσι ταὐτὰ ψευδῆ.




*ἡ ἀκτῖνοφωνία 

XVII

**Quiēs tua secundum cōnsilium administrātur.**

Nōn enim temere est quod exercitātiōnēs lūdīque sub dictātōre dīligenter administrantur. Et certē cōnsiliāriī, initiō factō, nōn valent dēsistere.



ΙΖ'

## Ἡ ἀνάπαυσίς σου κατὰ βουλὴν διοικεῖται.

Οὐ γὰρ ἀπὸ τύχης ὅτι τὰ γυμνάσιά τε καὶ αἱ ἀσκήσεις ἐπὶ τυράννου ἐπιμελῶς διοικοῦνται. Καὶ δὴ οἱ σύμβουλοι ὁρμήσαντες οὐκ ἔχουσι παύσασθαι.



XVIII

**Pūnītiō tua secundum cōnsilium administrātur.**

Sī mittāris ab operā, istud fīat per tēla mittentēs. Scīlicet, quod īnfortūnium erat, id nunc factum est scelus contrā rem pūblicam. *Sīc cōnsummāta est via ad servitūtem.*



ΙΗ'

**Ἡ κόλασίς σου κατὰ βουλὴν διοικεῖται.**

Εἰ ἀφεθείης ἀπὸ τῆς ἐργασίας, τοῦτο γένοιτο ἂν διὰ τῶν βέλη ἀφιέντων. Δηλαδή, ὅπερ ἀτύχημα ἦν, τοῦτο νῦν γέγονεν ἀδίκημα κατὰ τῆς πολιτείας. *Οὕτως ἀποτετέλεσται ἡ πρὸς δουλείαν ὁδός.*

